λω, futurus sum, amat futurum infinitiui reddi solent per participium futurum & verbum substantiuum, hoc modo, μέλλω λέξειν lecturus sum, μέλλω ἕξειν, habiturus sum, μέλλετον παρέξειν, facturi eratis.

Χρ. Μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
Πλ. Οὐκ ἠγόρευον, ὅτι παρέξειν πράγματα
Ἐμέλλετόν μοι; Χρ. Καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ.
Καὶ μή μ' ἀπολίπῃς, οὐ γὰρ εὑρήσεις ἐμοῦ,
Ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα.
Μὰ τὸν Δί'. οὐ γάρ ἐστιν ἄλλος, πλὴν ἐγώ.
Πλ. Ταυτὶ λέγουσι πάντες. ἡνίκ' ἂν δέ μου
Τύχωσ' ἀληθῶς, καὶ γένωνται πλούσιοι,
Ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
Χρ. Ἔχει μὲν οὕτως· εἰσὶ δ' οὐ πάντες κακοί.
Πλ. Μὰ Δί', ἀλλ' ἁπαξάπαντες. Καρ. Οἰμώξει μακρά.
Χρ. Σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν, ἢν μένῃς,
Γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
Οἶμαι γὰρ οἶμαι (ξὺν θεῷ δ' εἰρήσεται)
Ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,

CH. *Non per Iouem, sed te multò nunc auidius*
*Retinebimus.* PL. *Annõ ita fore hoc prædixerã,*
*Quòd essetis mihi facturi hìc negotia?*
CH. *Obsecro, da te mihi, neque desere me. Virũ*
*Si quæras, quàm ego sum, in vita meliorẽ, neque*
B *Tu reperies, neque per Iouẽ alius est, quàm ego.*
PL. *Hoc pollicentur omnes: sed vbi me semel*
*Adepti fuerint, diuitesq́; euaserint,*
*Planè à probitate deflectunt ad malitiam.*
CH. *Ita est: veruntamen non omnes sunt mali.*
PL. *Imò omnes, per Iouem.* CA. *Pœnas dabis mihi.*
CH. *At tu, vt scias, quanta accepturus sis bona:*
C *Si apud nos maneas, animũ adhibe, vt intelligas*
*Cõfido enim atq; spero (modò Deus annuat)*
*Fore, vt hac ego te cæcitate liberem,*

Σχόλια. Καὶ σύ γ' ἀντιβολῶ.] πεποίηται παρὰ τὸ ἄντομαι καὶ βάλλω. ἔχει δὲ τὴν ὁρμὴν πρὸς τὸ, ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου. τὸ δὲ οὐκ ἠγόρευον, ὥσπερ διὰ μέσου. τὸ δὲ πιθοῦ περισπᾶται. ἔστι γὰρ δεύτερος ἀόριστος. τοῦτον δὲ οἱ Ἀττικοὶ περισπῶσι καὶ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει ὥς φησιν Ἀπολλώνιος.

D Gerardvs. Ἀντιβολῶ,] alicui me tota vi oppono, vt precibus victum in meam sententiam traham. παρὰ τὸ ἄντην ποδῶν βάλλεσθαι, vt nonnullis placet, id est in genua procumbo, ad alicuius pedes me prouoluo. Quod si ἀντιβολέω simpliciter & sine casu ponatur, vt hîc, in aduerbium migrat, vt illa Latinorum, obsecrò, orò, cedò, amabò. Πιθοῦ,] thema πείθομαι habet indefinitũ β ἐπιθόμην, vnde est imperatiuũ tẽporis eiusdẽ πίθου, & Atticè accẽtu mutato πιθοῦ, sine vt hoc tibi persuadeã. E ἐμοῦ post anorme comparatiuum, βελτίονα. τοὺς τρόπους. s. κατὰ.

Σχόλια. Μὰ τὸν Δία.] τὸ μὰ τὸν Δία ἢ πρὸς τὸ ὄπισθεν συνάπτε ἢ μόνον λέγε, ἵν' ᾖ βεβαιωτικὸν τοῦ οὐχ εὑρήσεις, ἢ πρὸς τὸ ἐπαγόμενον σύναπτε.

Gerardvs. Μὰ τὸν Δία] cõfirmatio est hominis vrgentis. ἄλλος. s. ἀγαθὸς τοὺς τρόπους. Si Plutus statuit ad bonos ire, in agro autẽ Attico Chremylus solus sit bonus, debet vnius Chremyli con- F suetudine, contentus esse. Ταυτὶ] Atticum est ἀντὶ ταῦτα. Τύχωσι,] indefinitum β subiunctiui à themate τυγχάνω, consequor, adipiscor. ἀληθῶς, Is nõ dicitur frui Pluto ἀληθῶς, id est, verè & perfectè, qui eũ tantũmodo videt, vel cũ eo obiter agit, sed qui pro suo arbitratu multos dies cum eo versatur.

Σχόλια. Ἀτεχνῶς.] ἀντὶ τοῦ ἁπλῶς. καθάπαξ. ὅ ἐστιν ἑνὶ λόγῳ ἀληθῶς. τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς. τὸ δὲ ἄνευ δόλου ἀληθές. ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, ποτὲ τὴν τῆς τέχνης στέρησιν, καὶ τὸ ἀδιάφορον τῆς χρήσε- G ως. ἀτεχνῶς οἱονεὶ ἀτενῶς μετὰ περισποῦ χ. ἄλλως. ἁπλῶς ἄνευ τέχνης. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει. ἢ καθάπαξ. ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι ἢ μὴ, οὐκ ἔστι περισπωμένως, ἀλλὰ βαρυτόνως. ἀτέχνως ποιεῖς. ἀτέχνως λέγεις. ὁ δὲ νοῦς, κἂν φύσει τις ᾖ χρηστὸς ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρημάτων. Ὑπερβάλλουσιν.] ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτὸ, ὡς ποιῶ καὶ ποιοῦμαι. καὶ συντάσσεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ. οἷον ὑπερβάλλω τὸν δεῖνα λόγῳ, ὑποβάλλω δὲ λόγους ἀντὶ τοῦ ὑποτίθημι. ὅθεν καὶ τὸ ὑποβλήδην παρ' Ὁμήρῳ. καὶ ὑποβάλλω βρέφος ὅθεν καὶ τὸ ὑποβολιμαῖος, καὶ ὑποβάλλομαι παθητικῶς ἀντὶ τοῦ ὑπόκειμαι. καὶ ὑποβάλλεται ἡ θεμέλη τῷ τοίχῳ ἀντὶ τοῦ ὑποτίθεται, καὶ ὑποβάλλεται ὁ χόρτος τῇ στρωμνῇ. προβάλλω τὸ εἰς τοὔμπροσθεν τίθημι, ἀφ' οὗ πρόβολοι. προβάλλομαι δὲ μάρτυρας. Τῇ μοχθηρίᾳ.] τῇ κακίᾳ ἐπὶ τὸ χεῖρον μεθίστανται ὑπὸ τῶν χρημάτων.

Gerardvs. Ἀτεχνῶς. τέχνη] Atticis est dolus, hinc ἀτεχνῶς, ἄνευ τῆς τέχνης sine dolo, ergo verè, re vera, vt planè, & id quod res est dicam. ὑπερβάλλουσι. s. τοὺς ἄλλους. Quondam inopes & boni, vbi semel animum ad diuitias appulerunt, fiũt omnium sceleratissimi. ἔχει s. πρᾶγμα, ita res habet vt dicis, nempe ex diuitiis omnes fieri deteriores. Sed quomodo hæc constãt? Plutus dixit, ταυτὶ λέγουσι πάντες, Pluti confirmans dictum Chremylus dixit, ἔχει μὲν οὕτως. Mox verò subdit, quod vtrique aduersetur, εἰσὶ δ' οὐ πάντες κακοί. Attende, Chremylus cautè assentitur Pluto, dũ ait, ἔχει μὲν οὕτως, veretur enim ne quid dicat, quo offensus Plutus, statim abire paret. Propterea insinuans se in gratiam Pluti, vult verbum πάντες mitius accipi, vt sit idẽ quod πάμπολλοι, plerique: valde multi quidẽ sunt, inquit, in quos competat quod dixisti, non continuò tamen in omnes conferas.

Σχόλια. Ἀλλ' ἁπαξάπαντες.] δύο μέρη τοῦ λόγου τὸ ἁπαξάπαντες, οὐ φησὶ πάντες, ἀλλ' ὁμοῦ πάντες. τὸ γὰρ ἁπαξάπαντες ἐπὶ ἐπιτάσεως λαμβάνεται. ὑφ' ἓν δὲ ταῦτα τίθει. καὶ προφέρονται ὡς δηλαδὴ, ἁπαξαπλῶς.

Gerardvs. Μὰ Δία.] Profert hoc obliquè, & capite obliquato: per auctã syllabis dictionem, rei denotat incrementum, nõ sunt mali omnes, sed omnes simul, omnes ad vnum. Sic dicunt, non est μέγας, sed μέγιστος, atque adeò τρισμέγιστος. μακρά.] Quod dominus blanditiis impetrare nequit, seruus ferocior (quoniam non immemor quantum antea ipse cum hero minis profecerit) minis